Il.24.468 Ὣς ἄρα φωνήσας ἀπέβη πρὸς μακρὸν Ὄλυμπον
Il.24.469 Ἑρμείας· Πρίαμος δ᾽ ἐξ ἵππων ἆλτο χαμᾶζε,
Il.24.470 Ἰ̱δαῖον δὲ κατ᾽ αὖθι λίπεν· ὃ δὲ μίμνεν ἐρύ̱κων
Il.24.471 ἵππους ἡμιόνους τε· γέρων δ᾽ ἰ̱θὺς κίεν οἴκου,
Il.24.472 τῇ ῥ᾽ Ἀχιλεὺς ἵζεσκε Διῒ φίλος· ἐν δέ μιν αὐτὸν
Il.24.473 εὗρ᾽, ἕταροι δ᾽ ἀπάνευθε καθήατο· τὼ δὲ δύ᾽ οἴω
Il.24.474 ἥρως Αὐτομέδων τε καὶ Ἄλκιμος ὄζος Ἄρηος
Il.24.475 ποίπνυ̱ον παρεόντε· νέον δ᾽ ἀπέληγεν ἐδωδῆς
Il.24.476 ἔσθων καὶ πῑ̱νων· ἔτι καὶ παρέκειτο τράπεζα.
Il.24.477 τοὺς δ᾽ ἔλαθ᾽ εἰσελθὼν Πρίαμος μέγας, ἄγχι δ᾽ ἄρα στὰς
Il.24.478 χερσὶν Ἀχιλλῆος λάβε γούνατα καὶ κύσε χεῖρας
Il.24.479 δεινὰ̱ς ἀνδροφόνους, αἵ οἱ πολέας κτάνον υἷας.
Il.24.480 ὡς δ᾽ ὅτ᾽ ἂν ἄνδρ᾽ ἄ̱τη πυκινὴ λάβῃ, ὅς τ᾽ ἐνὶ πάτρῃ
Il.24.481 φῶτα κατακτείνας ἄλλων ἐξί̱κετο δῆμον
Il.24.482 ἀνδρὸς ἐς ἀφνειοῦ, θάμβος δ᾽ ἔχει εἰσορόωντας,
Il.24.483 ὣς Ἀχιλεὺς θάμβησεν ἰδὼν Πρίαμον θεοειδέ̱ᾳ̱·
Il.24.484 θάμβησαν δὲ καὶ ἄλλοι, ἐς ἀλλήλους δὲ ἴδοντο.
Il.24.485 τὸν καὶ λισσόμενος Πρίαμος πρὸς μῦθον ἔειπε·
Il.24.486 μνῆσαι πατρὸς σοῖο θεοῖς ἐπιείκελ᾽ Ἀχιλλεῦ,
Il.24.487 τηλίκου ὥς περ ἐγών, ὀλοῷ ἐπὶ γήραος οὐδῷ·
Il.24.488 καὶ μέν που κεῖνον περιναιέται ἀμφὶς ἐόντες
Il.24.489 τείρουσ᾽, οὐδέ τίς ἐστιν ἀρὴν καὶ λοιγὸν ἀμῦναι.
Il.24.490 ἀλλ᾽ ἤτοι κεῖνός γε σέθεν ζώοντος ἀκούων
Il.24.491 χαίρει τ᾽ ἐν θυ̱μῷ, ἐπί τ᾽ ἔλπεται ἤματα πάντα
Il.24.492 ὄψεσθαι φίλον υἱὸν ἀπὸ Τροίηθεν ἰόντα·
Il.24.493 αὐτὰρ ἐγὼ πανάποτμος, ἐπεὶ τέκον υἷας ἀρίστους
Il.24.494 Τροίῃ ἐν εὐρείῃ, τῶν δ᾽ οὔ τινά φημι λελεῖφθαι.

Il.24.495 πεντήκοντά μοι ἦσαν ὅτ᾽ ἤλυθον υἷες Ἀχαιῶν·
Il.24.496 ἐννεακαίδεκα μέν μοι ἰῆς ἐκ νηδύος ἦσαν,
Il.24.497 τοὺς δ᾽ ἄλλους μοι ἔτικτον ἐνὶ μεγάροισι γυναῖκες.
Il.24.498 τῶν μὲν πολλῶν θοῦρος Ἄρης ὑπὸ γούνατ᾽ ἔλυ̱σεν·
Il.24.499 ὃς δέ μοι οἶος ἔην, εἴρυ̱το δὲ ἄστυ καὶ αὐτούς,
Il.24.500 τὸν σὺ πρῴην κτεῖνας ἀμυ̱νόμενον περὶ πάτρης
Il.24.501 Ἕκτορα· τοῦ νῦν εἵνεχ᾽ ἱκά̱νω νῆας Ἀχαιῶν
Il.24.502 λυ̱σόμενος παρὰ σεῖο, φέρω δ᾽ ἀπερείσι᾽ ἄποινα.
Il.24.503 ἀλλ᾽ αἰδεῖο θεοὺς Ἀχιλεῦ, αὐτόν τ᾽ ἐλέησον
Il.24.504 μνησάμενος σοῦ πατρός· ἐγὼ δ᾽ ἐλεεινότερός περ,
Il.24.505 ἔτλην δ᾽ οἷ᾽ οὔ πώ τις ἐπιχθόνιος βροτὸς ἄλλος,
Il.24.506 ἀνδρὸς παιδοφόνοιο ποτὶ στόμα χεῖρ᾽ ὀρέγεσθαι.
Il.24.507 Ὣς φάτο, τῷ δ᾽ ἄρα πατρὸς ὑφ᾽ ἵ̱μερον ὦρσε γόοιο·
Il.24.508 ἁψάμενος δ᾽ ἄρα χειρὸς ἀπώσατο ἦκα γέροντα.
Il.24.509 τὼ δὲ μνησαμένω ὃ μὲν Ἕκτορος ἀνδροφόνοιο
Il.24.510 κλαῖ᾽ ἁδινὰ προπάροιθε ποδῶν Ἀχιλῆος ἐλυσθείς,
Il.24.511 αὐτὰρ Ἀχιλλεὺς κλαῖεν ἑὸν πατέρ᾽, ἄλλοτε δ᾽ αὖτε
Il.24.512 Πάτροκλον· τῶν δὲ στοναχὴ κατὰ δώματ᾽ ὀρώρει.
Il.24.513 αὐτὰρ ἐπεί ῥα γόοιο τετάρπετο δῖος Ἀχιλλεύς,
Il.24.514 καί οἱ ἀπὸ πραπίδων ἦλθ᾽ ἵ̱μερος ἠδ᾽ ἀπὸ γυίων,
Il.24.515 αὐτίκ᾽ ἀπὸ θρόνου ὦρτο, γέροντα δὲ χειρὸς ἀνίστη
Il.24.516 οἰκτί̱ρων πολιόν τε κάρη πολιόν τε γένειον,
Il.24.517 καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Il.24.518 ἆ δείλ᾽, ἦ δὴ πολλὰ κάκ᾽ ἄνσχεο σὸν κατὰ θυ̱μόν.
Il.24.519 πῶς ἔτλης ἐπὶ νῆας Ἀχαιῶν ἐλθέμεν οἶος
Il.24.520 ἀνδρὸς ἐς ὀφθαλμοὺς ὅς τοι πολέας τε καὶ ἐσθλοὺς
Il.24.521 υἱέας ἐξενάριξα; σιδήρειόν νύ τοι ἦτορ.

Il.24.522 ἀλλ᾽ ἄγε δὴ κατ᾽ ἄρ᾽ ἕζευ ἐπὶ θρόνου, ἄλγεα δ᾽ ἔμπης
Il.24.523 ἐν θυ̱μῷ κατακεῖσθαι ἐά̱σομεν ἀχνύμενοί περ·
Il.24.524 οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο·
Il.24.525 ὡς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσι
Il.24.526 ζώειν ἀχνυμένοις· αὐτοὶ δέ τ᾽ ἀκηδέες εἰσί.
Il.24.527 δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει
Il.24.528 δώρων οἷα δίδωσι κακῶν, ἕτερος δὲ ἑά̱ων·
Il.24.529 ᾧ μέν κ᾽ ἀμμίξα̱ς δώῃ Ζεὺς τερπικέραυνος,
Il.24.530 ἄλλοτε μέν τε κακῷ ὅ γε κύ̱ρεται, ἄλλοτε δ᾽ ἐσθλῷ·
Il.24.531 ᾧ δέ κε τῶν λυγρῶν δώῃ, λωβητὸν ἔθηκε,
Il.24.532 καί ἑ κακὴ βούβρωστις ἐπὶ χθόνα δῖαν ἐλαύνει,
Il.24.533 φοιτᾷ δ᾽ οὔτε θεοῖσι τετι̱μένος οὔτε βροτοῖσιν.
Il.24.534 ὣς μὲν καὶ Πηλῆϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα
Il.24.535 ἐκ γενετῆς· πάντας γὰρ ἐπ᾽ ἀνθρώπους ἐκέκαστο
Il.24.536 ὄλβῳ τε πλούτῳ τε, ἄνασσε δὲ Μυρμιδόνεσσι,
Il.24.537 καί οἱ θνητῷ ἐόντι θεὰ̱ν ποίησαν ἄκοιτιν.
Il.24.538 ἀλλ᾽ ἐπὶ καὶ τῷ θῆκε θεὸς κακόν, ὅττι οἱ οὔ τι
Il.24.539 παίδων ἐν μεγάροισι γονὴ γένετο κρειόντων,
Il.24.540 ἀλλ᾽ ἕνα παῖδα τέκεν παναώριον· οὐδέ νυ τόν γε
Il.24.541 γηράσκοντα κομίζω, ἐπεὶ μάλα τηλόθι πάτρης
Il.24.542 ἧμαι ἐνὶ Τροίῃ, σέ τε κήδων ἠδὲ σὰ τέκνα.
Il.24.543 καὶ σὲ γέρον τὸ πρὶν μὲν ἀκούομεν ὄλβιον εἶναι·
Il.24.544 ὅσσον Λέσβος ἄνω Μάκαρος ἕδος ἐντὸς ἐέργει
Il.24.545 καὶ Φρυγίη καθύπερθε καὶ Ἑλλήσποντος ἀπείρων,
Il.24.546 τῶν σε γέρον πλούτῳ τε καὶ υἱάσι φα̱σὶ κεκάσθαι.
Il.24.547 αὐτὰρ ἐπεί τοι πῆμα τόδ᾽ ἤγαγον Οὐρανίωνες
Il.24.548 αἰεί τοι περὶ ἄστυ μάχαι τ᾽ ἀνδροκτασίαι τε.

Il.24.549 ἄνσχεο, μὴ δ´ ἀλίαστον ὀδύ̱ρεο σὸν κατὰ θυ̱μόν·
Il.24.550 οὐ γάρ τι πρήξεις ἀκαχήμενος υἷος ἑῆος,
Il.24.551 οὐδέ μιν ἀνστήσεις, πρὶν καὶ κακὸν ἄλλο πάθῃσθα.
Il.24.552 Τὸν δ´ ἠμείβετ´ ἔπειτα γέρων Πρίαμος θεοειδής·
Il.24.553 μή πω μ´ ἐς θρόνον ἵζε διοτρεφὲς ὄφρα κεν Ἕκτωρ
Il.24.554 κεῖται ἐνὶ κλισίῃσιν ἀκηδής, ἀλλὰ τάχιστα
Il.24.555 λῦσον ἵν´ ὀφθαλμοῖσιν ἴδω· σὺ δὲ δέξαι ἄποινα
Il.24.556 πολλά, τά τοι φέρομεν· σὺ δὲ τῶνδ´ ἀπόναιο, καὶ ἔλθοις
Il.24.557 σὴν ἐς πατρίδα γαῖαν, ἐπεί με πρῶτον ἔα̱σας
Il.24.558 αὐτόν τε ζώειν καὶ ὁρᾶν φάος ἠελίοιο.
Il.24.559 Τὸν δ´ ἄρ´ ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Il.24.560 μηκέτι νῦν μ´ ἐρέθιζε γέρον· νοέω δὲ καὶ αὐτὸς
Il.24.561 Ἕκτορά τοι λῦσαι, Διόθεν δέ μοι ἄγγελος ἦλθε
Il.24.562 μήτηρ, ἥ μ´ ἔτεκεν, θυγάτηρ ἁλίοιο γέροντος.
Il.24.563 καὶ δέ σε γιγνώσκω Πρίαμε φρεσίν, οὐδέ με λήθεις,
Il.24.564 ὅττι θεῶν τίς σ´ ἦγε θοὰ̱ς ἐπὶ νῆας Ἀχαιῶν.
Il.24.565 οὐ γάρ κε τλαίη βροτὸς ἐλθέμεν, οὐδὲ μάλ´ ἡβῶν,
Il.24.566 ἐς στρατόν· οὐδὲ γὰρ ἂν φυλάκους λάθοι, οὐδέ κ´ ὀχῆα
Il.24.567 ῥεῖα μετοχλίσσειε θυρά̱ων ἡμετερά̱ων.
Il.24.568 τὼ νῦν μή μοι μᾶλλον ἐν ἄλγεσι θυ̱μὸν ὀρί̱νῃς,
Il.24.569 μή σε γέρον οὐδ´ αὐτὸν ἐνὶ κλισίῃσιν ἐά̱σω
Il.24.570 καὶ ἱκέτην περ ἐόντα, Διὸς δ´ ἀλίτωμαι ἐφετμά̱ς.